дѣло сатаны. Узнавъ объ этомъ, Нафанъ горько плакалъ и говорилъ: «По моей винѣ совершился этотъ грѣхъ». И снова пришелъ ангелъ и сказалъ Нафану: «Чрезъ тебя сдѣлано преступленіе, чрезъ тебя будетъ и исправленіе; иди, поэтому, и обличи беззаконіе Давида». Нафанъ на это возразилъ: «Какъ я, ничтожный человѣкъ, буду обличать царя»? Ангелъ сказалъ ему: «Я буду съ тобой; ты объяви ему, а я нагоню страхъ на него». Нафанъ сдѣлалъ по слову ангела. Апологъ Нафана отличается отъ библейскаго тѣмъ, что однимъ изъ дѣйствующихъ лицъ является самъ Нафанъ: онъ приноситъ жалобу на своего господина, взявшаго у него послѣднюю овцу. — Далѣе въ этомъ введеніи говорится, что отъ жены Уріи у Давида родился сынъ Соломонъ, мудрость котораго была подобна мудрости перваго человѣка Адама. Соломонъ задумалъ построить храмъ и — разсказъ переходитъ къ эпизоду съ юношей.

Итакъ, общіе выводы изъ всего сказаннаго будутъ слѣдующіе:

1) Три списка — изданный, Парижскій № 500 и Андреевскій — представляютъ полную редакцію «Завѣщанія», а Діонисіатскій — краткую.

2) Краткая редакція есть болѣе древняя; въ полной редакціи позднѣйшимъ добавленіемъ является подробное описаніе явленія Соломону тридцати шести демоническихъ существъ.

3) Полная редакція не образовалась изъ той краткой, которая является намъ въ настоящее время въ Діонисіатскомъ спискѣ, но ея оригиналъ не совпадалъ съ послѣднимъ во всѣхъ частностяхъ.

4) Въ первоначальномъ видѣ «Завѣщаніе» не было собственно завѣщаніемъ, а было одной изъ многихъ легендъ, повѣствующихъ о построеніи Соломономъ храма. «Завѣщаніемъ» оно стало уже послѣ распространенія.

5) Дошедшій до насъ списокъ краткой редакціи не представляетъ оригинала въ чистомъ видѣ: онъ получилъ особое введеніе и потерпѣлъ нѣсколько видоизмѣненій.

Ниже издается сказаніе — 1) по рукописи Андреевскаго Афонскаго скита, а недостающія въ немъ части восполняются спискомъ Парижской Національной Библіотеки; и 2) по рукописи Діонисіатскаго Афонскаго монастыря.

I.

Афонскаго Андреевскаго скита № 73.

Ἡ διήγησις Σολομῶντος υἱοῦ Δαβίδ, ὡς ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ καὶ ἐκράτησε καὶ ὑπέταξεν δι' ὧν καὶ πάντα τὰ ἔργα τοῦ θεοῦ τὰ ὑπερβάλλοντα πεποίηκεν καὶ τίνες ἐξουσίαι αὐτῶν κατὰ τῶν ἀνθρώπων, καὶ παρὰ ποίων ἀγγέλων οὗτοι οἱ δαίμονες καταργάζονται. [ε]ὐλογητὸς εἶ, ὁ δοὺς τῷ Σολομῶντι τοιαύτην ἐξουσίαν, σοὶ δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

[Κ]αὶ[1]) ἰδοὺ οἰκοδομουμένου τοῦ ναοῦ πόλεως Ἱεροσολὴμ καὶ ἐργαζομένων τῶν τεχνιτῶν ἐν αὐτῷ, [ἤ]ρχετο Ὀρνίας τὸ δαιμονικὸν κατὰ ἡλίου δυσμᾶς καὶ ἐλάμβανεν τὸ ἥμισυ τοῦ μισθοῦ τοῦ πρωτομαϊστόρου παιδαρίου ὄντος καὶ τὰ ἥμισυ σιτία καὶ τὸν ἀντίχειρα τῆς δεξιᾶς αὐτοῦ χειρὸς ἐθήλαζεν ἐφ' ἑκάστης ἡμέρας[1]). καὶ ἐλεπτύνετο τὸ παιδάριον || ὅπερ ἦν ἀγαπώμενον ὑπ' ἐμοῦ σφόδρα. ἐγὼ δὲ Σολομὼν ἐν μιᾷ τῶν ἡμερῶν ἀνακρίνας τὸ παιδάριον εἶπον αὐτῷ· ||

---

[1]) Καὶ ἰδοὺ ἀνοικοδομουμένης τῆς Ἱερουσαλὴμ καὶ ἐργαζομένων τῶν τεχνιτῶν ἓν παιδίον ἔχον προθυμίαν μεγίστην ἐπὶ τὴν τοῦ ναοῦ οἰκοδομήν, ὃς ἐποίει τοὺς τεχνίτας προθυμωτέρους πρὸς ἐργασίαν. καὶ οἱ ἀκούοντες ἔχαιρον πάντες ἐπὶ τῇ τοῦ παιδὸς προθυμίᾳ. ἦν δὲ καὶ ἀγαπώμενον ἄγαν παρ' ἐμοῦ Σολομῶντος. καὶ ἐλάμβανε παρὰ πάντας τὰς τεχνίτας διπλὸν τὸν μισθὸν καὶ σιτήδεια διπλά. καὶ ἤμουν χαίρων καὶ εὐφραινόμενος ἐγὼ Σολεμὼν καὶ εὐλογῶν τὸν θεὸν ἐπὶ τῇ τοῦ ναοῦ οἰκοδομῇ. φθονήσαντος δὲ τοῦ δαίμονος ἐπὶ τῇ τοῦ παιδὸς προθυμίᾳ ἤρχετο καθ' ἑκάστην ἡμέραν ὁ δαίμων καὶ ἐλάμβανε τὸ ἥμισυ τῶν σιτείων αὐτοῦ καὶ ἐθήλαζεν τὸν ἀντίχειρον τῆς δεξιᾶς αὐτοῦ χειρός.

οὐχὶ παρὰ πάντας τοὺς τεχνίτας τοὺς ἐργαζομένους ἐν τῷ ναῷ τοῦ θεοῦ σὲ ἀγαπῶ, διδοὺς ἐν διπλῷ τοὺς μισθοὺς καὶ τὰ σιτία διπλάσιον, πῶς ἐφ' ἑκάστης ἡμέρας καὶ ὥρας λεπτύνεις»; τὸ δὲ παιδάριον ἔφη πρὸς τὸν βασιλέα· «δέομαί σου, βασιλεῦ, ἄκουσον δὴ τὰ συμβάντα τῷ σῷ παιδαρίῳ. μετὰ τὸ ἀπολυθῆναι ἡμᾶς πάντας ἀπὸ τοῦ ἔργου τοῦ ναοῦ τοῦ θεοῦ μετὰ ἡλίου δυσμᾶς ἐν τῷ ἀναπαύεσθαί με ἔρχεται ἓν τῶν πονηρῶν δαιμόνων καὶ ἀφαιρεῖ ἀπ' ἐμοῦ τὸ ἥμισυ τοῦ μισθοῦ μου καὶ τὰ ἥμισυ σιτία, εἶτα λαμβάνει καὶ τὴν δεξιάν μου χεῖραν καὶ θηλάζει τὸν ἀντίχειρά μου. καὶ ἰδοὺ θλιβομένη μου ἡ ψυχή, οὕτω τὸ σῶμά μου λεπτύνεται καθ' ἑκάστην ἡμέραν». καὶ ταῦτα ἀκούσας ἐγὼ Σολομὼν εἰσῆλθα εἰς τὸν ναὸν τοῦ θεοῦ καὶ ἐδεήθην ἐξ ὅλης μου τῆς ψυχῆς νυκτὸς καὶ ἡμέρας, πῶς παραδοθῇ μοι ὁ δαίμων εἰς τὰς χεῖρας καὶ ἐξουσιάζω αὐτόν. καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαί με ἐδόθη μοι παρὰ κυρίου Σαραὼθ χάρις διὰ Μιχαὴλ τοῦ ἀρχαγγέλου—δακτυλίδιον ἔχον σφραγῖδα γλυφῆς ἐκ λίθου τιμίου[1]) καὶ εἶπέ με· «λαβέ, Σολομών, βασιλεὺς υἱὸς Δαβίδ, δῶρον, ὃν ἀπέστειλέν σοι κύριος ὁ θεὸς Σαβαώθ, καὶ συγκλείσεις πάντας τοὺς δαίμονας τῆς γῆς ἄρσενα καὶ θήλεα καὶ (11ᵛ) μετ' αὐτῶν ἀνοικοδομήσεις τὴν Ἱερουσαλήμ, φέρειν σε τὴν σφραγῖδα ταύτην τοῦ θεοῦ. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος τοῦ δακτυλιδίου τῆς πεμφθείσης ἔστιν πεντάλφα αὕτη. καὶ περιχαρὴς γενόμενος ἐγὼ Σολομὼν ὕμνουν καὶ ἐδόξαζον τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς. καὶ τῇ ἐπαύριον ἐκάλεσα τὸν παῖδα καὶ ἀπέδωκα αὐτῷ τὸ δακτυλίδιον· «λαβὲ τοῦτο καὶ ἐν ᾗ ἂν ὥρᾳ ἔλθῃ πρός σε τὸ δαιμόνιον, ῥῖψον τοῦτο τὸ δακτυλίδιον εἰς τὸ στῆθος τοῦ δαιμονίου καὶ εἰπὲ αὐτῷ· «ἐπ' ὀνόματος τοῦ θεοῦ δεῦρο, καλεῖ σε ὁ βασιλεὺς Σολομών». καὶ δρομιαίως ἔρχου πρός με, μηδὲ δειλιάζων ἢ φοβηθεὶς ἐν ᾧ μέλλεις ἀκούειν παρὰ τοῦ δαίμονος». καὶ λαβὼν τὸ παιδάριον τὸ δακτυλίδιον ἀπῆλθεν. καὶ ἰδοὺ κατὰ τὴν

---

[1]) ἦν δὲ ἡ γλυφὴ αὐτοῦ λέγων οὕτως. (ΚΠΗ.) κύριε ὁ θεὸς ἡμῶν λέγων σαβαώθ. βιωνίκ. ἀωᾶ. ἐλωί. αἰαῶ. ἐλωί. αἰῶ. ἰωασὲ. σουγεωὰ. ἀγὲ. αἐνίου. οὐρανίου, ἠρώ.

ἡθισμένην ὥραν ἦλθε ὁ Ὀρνίας τὸ χαλεπὸν δαιμόνιον ὡς πῦρ φλεγόμενον || ὥστε λαβεῖν κατὰ τὸ συνῆθες τὸν μιστὸν παρὰ τοῦ παιδός. τὸ δὲ παιδάριον κατὰ τῷ ῥηφθέντι αὐτῷ παρὰ τοῦ βασιλέως Σολομῶντος ἔρριψε τὸ δακτυλίδιον ἐπὶ τὸ στῆθος τοῦ δαίμονος λέγων αὐτῷ· «δεῦρο, καλεῖ σε ὁ Σολομών». καὶ ἀπίει δρομαίως πρὸς Σολομῶντα. ὁ δὲ δαίμων ἐκράγασε λέγων τῷ παιδαρίῳ· «τί τοῦτο ἐποίησας; λαβὲ τὸ δακτυλίδιον καὶ ἐπίδος αὐτὸ πρὸς Σολομῶντα. || ἐγώ σοι δώσω το χρυσίον τῆς γῆς, μόνον λαβὲ τοῦτο ἀπ' ἐμοῦ καὶ μὴ ἀπάγῃς με πρὸς Σολομῶντα». τὸ δὲ παιδάριον λέγει πρὸς τὸν δαίμονα· «ζῇ κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, οὐ μή σου ἀνέξωμαι ἀλλὰ δεῦρο ἀκολουθῇ μοι». καὶ ἐλθὼν δρομαίως τὸ παιδάριον χαίρων πρὸς τὸν βασιλέα λέγων· «ἤγαγον τὸν δαίμονα, βασιλεῦ, ὡς ἐκέλευσάς μοι, δέσποτα, καὶ ἰδοὺ στήκεται πρὸ τῶν θυρῶν τῆς αὐλῆς τῆς βασιλείας σου κραυγάζων καὶ δεόμενος μεγάλῃ τῇ φωνῇ διδόναι μοι τὸ ἀργύριον καὶ τὸ χρυσίον τῆς γῆς τοῦ μὴ ἀπαγαγεῖν αὐτὸν πρός σε». καὶ ἀκούσας ταῦτα Σολομὼν ἀνέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ ἐξῆλθεν. || εἶδον τὸν δαίμονα φρίττοντα καὶ τρέμοντα καὶ εἶπον αὐτῷ· «τίς εἶ σὺ καὶ τίς ἡ κλῆσίς σου»; ὁ δαίμων εἶπεν· «Ὀρνίας». εἶπον οὖν αὐτῷ· «λέγε μοι πρὶν ἔξω διώκω σε»; καὶ ἀποκριθεὶς ὁ δαίμων· «ὑδροχόος (80) καὶ τοὺς ἐν ὑδροχόῳ κείμενος δι' ἐπιθυμιῶν τῶν λόγων ἐπὶ τὴν παρθένον τὸ ἐξόδιον κεκληκότας ἐπάγω, καὶ εἰς τοῦτο τρεῖς μορφὰς μεταβαλλόμενος. ποτὲ μὲν ὡς ἄνθρωπος ἔχων ἔτι θηλυκὸν εὔκοσμον καὶ δι' αὐτὸν ἀλγώσει πάνυ, ποτὲ δὲ ὑπόπτερος γένομαι ἐπὶ τοὺς οὐρανίους τόπους, ποτὲ δὲ ὄψιν λέοντος ἐμφαίνω ὑπὸ πάντων τῶν δαιμονίων λαβόμενος. ἀπόγονος δέ εἰμι τῆς δυνάμεως τοῦ θεοῦ, καταργοῦμαι δὲ ὑπὸ Μιχαὴλ τοῦ ἀρχαγγέλου. || (12) Ὁ δὲ Σολομὼν λέγει αὐτῷ· «λέγε μοι, ὦ δαῖμον, ποίων ζωδίων κεῖσαι»; ὁ δὲ εἶπεν· «ὑδροχόῳ καὶ τῶν κειμένω[ν] δι' ἐπιθυμιῶν τῶν γυναικῶν ἐπὶ γῆν παρθένων, τῷ ζωδίῳ κέκληται, τούτους

ἀποπνίγω, εἰ μὴ δὲ καὶ ὑπνωτικῶν, εἰς τρεῖς μορφὰς μεταβάλλομαι. ὁπόταν οἱ ἄνθρωποι ἔρχωνται εἰς ἐπιθυμίαν γυναικῶν, ἐγὼ μεταμορφοῦμαι ὡς θῆλυ εὐκοσμὸν καὶ ἁπτομένου μου οἱ ἄνθρωποι καθ' ὕπνον ἐμπαίζω αὐτούς. ποτὲ πάλιν ὑπόπτερος γένομαι ὑπὸ τοὺς οὐρανίους τόπους, φαίνομαι καὶ ὡς λέοντας. κελεύομαι ὑπὸ πάντων τῶν δαιμόνων. ἀπόγονος δέ εἰμι τοῦ ἀρχαγγέλου, καταργοῦμα[ι] ὑπὸ τοῦ ἀρχαγγέλου Οὐριὴλ τῆς δυνάμεως τοῦ θεοῦ». Ἐγὼ δὲ Σολομών, ἀκούσας τὸ ὄνομα τοῦ ἀρχαγγέλου, εὐξάμενος ἐδόξασα κύριον τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ σφραγίσας αὐτὸ[ν] ἔταξα εἰς τὴν ἐργασίαν τῆς λιθοτομίας τοῦ κόπτειν λίθους ἐν τῷ ναῷ ἀχθέντας διὰ θαλάσσης Ἀραβίας τοὺς κειμένους παρὰ τὸν αἰγιαλλόν. ἐφοβεῖτο οὖν τὸ σίδηρον προσψαῦσαι, λέγει· «δέομαί σου, βασιλεὺς Σολομών, ἔασόν με ἀνετὸν εἶναί με, κἀγώ σοι εὐαγγέλλω πάντα τὰ δαιμόνια». μὴ θέλοντος δὲ αὐτοῦ ὑποταγῆναί μοι εὐξάμενος τοῦ ἀρχαγγέλου Οὐριὴλ συνελθεῖν μοι εἰς βοήθειαν. καὶ εὐθέως εἶδον τὸν ἀρχάγγελον Οὐριὴλ ἐκ τῶν οὐρανῶν κατερχόμενον πρός με. καὶ ἐκέλευσεν ὁ ἄγγελος κήτη θαλάσσης ἐλθεῖν ἐκ τῆς ἀβύσσου, καὶ ἔρριψεν αὐτοῦ τὴν μοίραν ἐπὶ τῆς γῆς. καὶ ἐκέλευσεν τὸν δαίμονα τὸν μέγαν καὶ θρασὺ[ν] τὸν Ὀρνίαν τοῦ κόπτειν λίθους πρὸς τὸν ναόν. καὶ οὕτως ἐγὼ Σολομὼν ἐδόξασα τὸν θεὸν τοῦ οὐρανοῦ καὶ γῆς ποιητὴν καὶ ἐκέλευσα ἐλθεῖν τὸν Ὀρνίαν σὺν τῇ μοίρᾳ αὐτοῦ. καὶ ἔδωκα αὐτοῦ τὸ σφραγίδιον λέγων· «ἄπελθε καὶ ἄγαγέ μοι ὧδε τὸν ἄρχοντα λαβεῖν ἀπὸ τῆς βασιλείας μου. ||

ὁ δὲ Ὀρνίας λαβὼν τὸ δακτυλίδιον ἀπῆλθε πρὸς τὸν Βεελζεβοὺλ καὶ ἔφη αὐτῷ· «δεῦρο, καλεῖ σε ὁ Σολομών». ὁ δὲ Βέελζεβοὺλ λέγει αὐτῷ· «λέγει μοι, τίς ἐστὶν οὗτος ὁ Σολομών, ὃν σὺ λέγεις»; ὁ δὲ Ὀρνίας ἔρριψε τὸ δακτυλίδιον εἰς τὸ στῆθος τοῦ Βεελζεβοὺλ λέγων αὐτῷ· «δεῦρο, καλεῖ σε ὁ Σολομὼν ὁ βασιλεύς». καὶ ἀνέκραξεν ὁ Βεελζεβοὺλ ὡς ἀπὸ φλογὸς καιόμενος καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ μετὰ βίας καὶ ἦλθε πρός με. καὶ εἶδον ἐγὼ Σολομὼν τὸν ἄρχοντα τῶν δαιμονίων ἐρχόμενον πρός με. καὶ ἐδόξασα

τὸν θεὸν καὶ εἶπον· «εὐλογητὸς κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ὑποτάξας εἰς ἐμὲ πᾶσαν τὴν τῶν δαιμόνων δύναμιν». καὶ ἐπηρώτησα (81) αὐτόν· «λέγε μοι, τίς εἶ σύ»; ὁ δαίμων λέγει· «ἐγώ εἰμι ὁ Βεελζεβούλ, τῶν δαιμόνων ὁ ἔξαρχος». ἀπῄτουν δὲ τοῦτον ἀδιαλήπτως ἔγγυθέν μοι προεδρεύειν καὶ ἐμφανίζειν τὴν κατὰ τῶν δαιμόνων φαντασίαν. αὐτὸς δέ μοι ἐπηγγείλατο πάντα τὰ ἀκάθαρτα πνεύματα ἀγαγεῖν πρός με δεδεμένα, καὶ πάλιν ἐδόξασα τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς. ἐπυθόμην δὲ καὶ ἠρώτησα τὸν δαίμονα Βεελζεβούλ, εἰ ἔστι δαίμων θήλεια ἔγγυος. τοῦ δὲ φήσαντος εἶναι ἐβουλόμην εἰδέναι. καὶ ἀπελθὼν ὁ Βεελζεβοὺλ ἔδειξέ μοι τὴν ὀνοσχελίδα μορφὴν ἔχουσαν περικαλῆ. ἐλθούσης δὲ αὐτῆς πρός με εἶπον αὐτῇ· «λέγε μοι, σὺ τίς εἶ»; ἡ δὲ ἔφη· «ἐγὼ ὀνοσχελίδα καλοῦμαι, πνεῦμα σεσωματωμένον φωλέων ἐπὶ τῆς γῆς, ἐν σπηλαίοις μὲν ἔχω τὴν κατοίκησιν, ἔχω δὲ πολυποίκιλον τρόπον. ποτὲ μὲν ἄνθρωπον πνίγω, ποτὲ δὲ ἀπὸ τῆς φύσεως σκελιάζω αὐτούς, πολλάκις δὲ καὶ συνγίνομαι τοῖς ἀνθρώποις ὡς γυναῖκα νομίζοντές με εἶναι, πρὸ πάντων δὲ τοὺς μελαντοχρόους[1]) ὅτι οὗτοι σύναστροί μού εἰσι. καὶ τὸ ἄστρον μοῦ οὗτοι λάθρα καὶ φανερῶς προσκυνοῦσι καὶ ἑυατοὺς βλάπτουσι». ἐπηρώτησα δὲ αὐτήν, πόθεν γεννᾶται. ἡ δὲ εἶπεν· «ἀπὸ φωνῆς ἀκροατῆς καλουμένης ἤχου οὐρανοῦ μολύβδο[υ] φωνὴν ἀφιέντος ἐν ὕλῃ ἐγεννήθην». εἶπον δὲ αὐτῇ· «ἐν ποίῳ ἄστρῳ ἔρχῃ»; ἡ δὲ εἶπεν· «ἐν Πανσελήνῳ, διὸ καὶ ἐν σελήνῃ τὰ πλείω ποιῶ». ἐγὼ δὲ εἶπον· «ποῖος ἄγγελός ἐστιν ὁ καταργῶν σε»; ἡ δὲ λέγει· «ὁ καὶ ἐν σοὶ βασιλεύσει». κἀγὼ εἰς χλεύην αὐτὰ λογισάμενος ἐκέλευσα στρατιώτην κροῦσαι αὐτήν. ἡ δὲ ἀνακράξασα εἶπε· «λέγω σοι, βασιλεῦ, ἐγὼ ὑπὸ τῆς δεδομένης σοι σοφίας τοῦ θεοῦ, ὑπὸ[2]) τὸ ὄνομα τοῦ ἁγίου Ἰωὴλ (въ рук. Ιηλ). διὸ ἐκέλευσα αὐτὴν νήθειν τὴν κανάβην εἰς τὰς σχοινίας τοῦ ἔργου τοῦ ναοῦ

[1]) Въ изд. т. μελιχρόους. [2]) Въ рук. εἶπον.

τοῦ θεοῦ. καὶ οὕτως σφραγίσας κατηργήθη ὥστε ἱστάναι νύκτα καὶ ἡμέραν νήθειν τὴν κάναβιν. καὶ ἐκέλευσα ἀχθῆναί μοι ἕτερον δαιμόνιον. καὶ ἤγαγέ μοι Ἀσμοδαῖον τὸν πονηρὸν δαίμονα δεδεμένον καὶ ἐπηρώτησα αὐτόν· «σὺ τίς εἶ»; ὁ δὲ βλοσυρὸν βλέμα βλέψας λέγει μοι. καὶ οὕτως τετιμωρημένος ἀποκρίνῃ. ὁ δὲ τὸ αὐτὸ βλέμμα προσχὼν καὶ εἰπέ μοι· «πῶς ἔχω σοι ἀποκριθῆναι; σὺ μὲν υἱὸς ἀνθρώπου εἶ κἀγὼ ἄγγελός εἰμι, καὶ διὰ θυγατρὸς ἀνθρώπου ἐγεννήθης, (82) ὥστε οὐδὲν ὑπερήφανον ῥῆμα οὐρανίου γένους πρὸς γηγενεῖς (въ рук. γαγενάν). τὸ ἄστρον μου ἐν οὐρανῷ φωτεύει καὶ οἱ ἄνθρωποί με καλοῦσιν ἅμαξαν, οἱ δὲ δρακοντοπόδα. διὰ τοῦτο καὶ μικρώτερα ἄστρα συμπάρεισιν τὸ ἐμὸν ἄστρον καὶ γὰρ τοῦ πατρὸς τὸ ἀξίωμα καὶ ὁ θρόνος ἐν οὐρανῷ ἐστί. πολλὰ δὲ μή με ἐπερωτᾷς, Σολομών. καὶ γὰρ τὸ βασίλειόν σου διαρραγήσεται ἐν καιρῷ, καὶ αὕτη σου ἡ δόξα πρόσκαιρός ἐστι, καὶ ὀλίγον χρόνον βασανίσαι με ἔχεις. καὶ πάλιν [ν]ομὴν ἐπανθρωπότητα ἔχομεν, ὥστε σέβεσθαι ἡμᾶς ὡς θεούς, μὴ γινοσκόντων τῶν ἀνθρώπων τὰ ὀνόματα τῶν καθ' ἡμῶν τεταγμένων ἀγγέλων». ἐγὼ δὲ Σολομῶν ἀκούσας ταῦτα ἐπιμελέστερον αὐτὸν ἐδέσμευσα καὶ ἐκέλευσα ῥαβδίζεσθαι καὶ ἀπολογηθῆναι, πῶς καλεῖται καὶ τίς ἡ ἐργασία αὐτοῦ. ὁ δαίμων εἶπε· «ἐγὼ Ἀσμοδαῖος καλοῦμαι ἐν ὅλῳ τῷ κόσμῳ, δύνομαι κακουργίας ἀνθρώπων, νεοννύμφον ἐπίβολός εἰμι, παρθένων κάλλος ἀφανίζω, καρδίας ἀλοιῶ. ἔφην δὲ αὐτῷ [1]) ||

εἶπον οὖν τῷ πρεσβύτῃ· «μεθ' ἡμέρας τρεῖς ἄγαγέ μοι ὧδε τὸν υἱόν σου καὶ διατάξω αὐτόν». οἱ δὲ προ[σ]κυνήσαντες ἀνεχώρησαν. καὶ πάλιν ἐκέλευσα ἐλθεῖν πρός με τὸν δαίμοναν Ὀρνίαν καὶ λέγω πρὸς αὐτόν· «λέγε μοι, πόθεν σὺ τὰ μέλλοντα γινώσκεις»; ὁ δὲ λέγει μοι· «ἡμεῖς οἱ δαίμονες ἀνερχόμεθα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ καὶ μέσον τῶν ἀστέρων ἱπτάμεθα καὶ ἀκούομεν τὰς ἀποφάσεις (12v) τὰς ἐξερχομένας παρὰ θεοῦ

---

[1]) Здѣсь оканчивается Парижскій списокъ.

πρὸς τοὺς ἀγγέλους ἐπὶ τὰς ψυχὰς τῶν ἀνθρώπων. καὶ λοιπὸν ἐρχόμεθα εἰς τὴν γῆν καὶ εἴτε ἐν δυναστείᾳ εἴτε ἐν πυρὶ εἴτε ἐν ρομφαίᾳ εἴτε ἐν συμπτώματι μετασχηματιζόμενοι ἀναιροῦμεν. καὶ ἐάν τις ἀποθάνῃ ἐν ἀωρίᾳ ἢ βίᾳ τινί, μεταμορφούμεθα ἡμεῖς οἱ δαίμονες εἰς τὸ ὄνομα τοῦ τεθνεότος, ὥστε παραφαίνεσθαι τοῖς ἀνθρώποις καὶ σέβεσθαι ἡμᾶς». ἐγὼ δὲ ταῦτα ἀκούσας, ἐδόξασα κύριον τὸν θεὸν καὶ ἐπηρώτησα πάλιν τὸν δαίμονα· «λέγε μοι, πῶς δύνασθε εἰς τὸν οὐρανὸν ἀναβῆναι δαίμονες ὄντες καὶ μέσον τῶν ἀστέρων καὶ τῶν ἁγίων ἀγγέλων μιγῆναι»; ὁ δὲ ἔφη· «ὅσα ἐν τῷ οὐρανῷ ἐπιτελοῦνται, οὕτως καὶ οἱ ἐπὶ γῆς οἱ τύποι αὐτῶν. εἰσὶν γὰρ ἀρχαὶ ἐξουσίαι κοσμοκράτορες. καὶ ἱπτάμεθα ἡμεῖς οἱ δαίμονες ἐν τῷ ἀέρι καὶ ἀκούομεν τῶν ἐπουρανίων τὰς φωνὰς καὶ τὰς ἐπουρανίας δυνάμεις θεωροῦμεν. καὶ ὡς μὴ ἔχοντες βάσιν ἀναπαύσεως ἀτονοῦμεν καὶ ἐκπίπτομεν ἐξ οὐρανοῦ ὥσπερ φύλλα ἀπὸ τῶν δένδρων. καὶ θεωροῦντες ἡμᾶς οἱ ἄνθρωποι δοκοῦσιν, ὅτι ἀστέρες πίπτουσιν ἀπὸ τοῦ οὐρανοῦ, ἀλλ' οὐχ οὕτως ἐστίν, βασιλεῦ, ἀλλ' ἡμεῖς ἐσμέν. καὶ πίπτομεν ἐπὶ τὴν γῆν διὰ τὴν ἀσθένειαν ἡμῶν καὶ ἐν τῷ μηδαμόθεν ἔχειν[1]) ἀντιλέγειν καταπίπτομεν ὡς ἀστραπαὶ ἐν ἀωρίᾳ καὶ αἰφνηδίως. καὶ πόλεις καταφλέγομεν καὶ ἀγροὺς ἐμπυρίζομεν. οἱ δὲ ἀστέρες τεθεμελιωμένοι[2]) εἰσὶν ἐν τῷ οὐρανῷ ὥσπερ ὁ ἥλιος καὶ σελήνη». καὶ ταῦτα ἀκούσας ἐγὼ Σολομὼν ἐκέλευσα φρουρεῖσθαι τὸν δαίμονα ἄχρι ἡμερῶν ε̅. μετὰ δὲ τὰς ε̅ ἡμέρας ἐπεκαλεσάμην τὸν γηραιὸν ἔμπροσθέν μου. καὶ ἐλθὼν πρός με ὁ ἄνθρωπος κατὰ πένθος καὶ μεμελαμένῳ τῷ προσώπῳ αὐτοῦ, καὶ λέγω πρὸς αὐτόν· «εἰπέ, πρεσβύτα, ποῦ ἐστὶ ὁ υἱός σου καὶ τί τὸ σχῆμα τοῦ προσώπου σου»; ὁ δὲ ἔφη· «ἰδού, κύριε, ἄπαις ἐγενόμην καὶ ἀνέλπιστα τάφῳ υἱοῦ παρακαθέζομαι, ἤδη γὰρ ἡμέρας δύο νεκροῦ γεγονότος». ἐγὼ δὲ Σολομών, ἀκούσας ταῦτα καὶ γνούς, ὅτι ἀληθῆ εἰσὶν ὃ ἔφη μοι ὁ δαίμων 'Ορνίας, καὶ ἐδόξασα τὸν θεὸν Ἰσραήλ. (13) καὶ (ἡ βασίλισσα Νότου) εἶδε τὸν οἶκον κυ-

---

1) Въ рук. ἔχημεν. 2) Въ рук. τε θέμελοι ὅμοιον.

ρίου οἰκοδομούμενον, ἐχαρίσατο ἐν τῷ ναῷ κυρίου χρυσίου καὶ ἀργυρίου καὶ χαλκοῦ ἐκλεκτοῦ λίτρας μυριάδας ρ̄. καὶ εἰσῆλθεν εἰς τὸν ναὸν καὶ εἶδε τὸ θυσιαστήριον καὶ τοὺς ἀναφόρους τοὺς χαλκοὺς τοῦ θυσιαστηρίου καὶ τοὺς ἀναφόρους λίθους τῶν λύχνων ἐξαστράπτοντας ἐκ διαφόρων χρημάτων καὶ λύχνη τοῦ λίθου καὶ σμαράγδου καὶ ἰακίνθου καὶ σαμφύρου καὶ τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ χαλκᾶ καὶ ξύλινα καὶ ἐκ δερμάτων ἁπλώματα ἠρυθρηδανομένων. εἶδε καὶ τὰς βάσεις τῶν κιόνων τοῦ ναοῦ κυρίου ὑπὸ χαλκοῦ βαισιδώτου πλοκῇ περιπεπλεγμένων. εἶδε δὲ καὶ θάλασσαν τὴν χαλκῆν, ἣν ἐποίησα εἰς τὸ μῆκος ἔχουσα[ν] σταδίους καὶ ἐπὶ στάδιον καὶ τοὺς ιη̄ ταύρους. καὶ ἦσαν οἱ ἐργαζόμενοι εἰς τὸν ναὸν κυρίου οἱ πάντες χρυσίου ἑνὸς χωρὶς τῶν δαιμόνων ὧν κατέκρινα ἐργάζεσθαι. καὶ ἦν εἰρήνη κύκλῳ τῆς βασιλείας μου ἐπὶ πᾶσαν τὴν γῆν. ἐν ταύταις δὲ ταῖς ἡμέραις ἀπέστειλέν με ἐπιστολὴν ὁ βασιλεὺς Ἀράβων Ἀδάρκης ὀνόματι. ἡ δὲ γραφὴ τῆς ἐπιστολῆς ἔγραφεν οὕτως· «βασιλεῖ τῷ Σολομῶντι χαίρειν. ἰδοὺ ἠκούσαμεν καὶ ἀκουστὰ γέγονεν πάντα τὰ πέρατα τῆς γῆς τῇ ἐν σοὶ δεδομένῃ σοφίᾳ, καὶ ὅτι ἄνθρωπος ἐλεήμων παρὰ θεῷ εἶ σύ. (καὶ σύνεσις ἐδόθη σοι) ἐπὶ πάντων τῶν πνευμάτων ἀερίων τε καὶ ἐπιγείων καὶ καταχθονίων. ἐπειδὴ πνεῦμα πάρεστιν ἐν τῇ χώρᾳ τῆς Ἀραβίας τοιόνδε· ἐν τῷ ἑωθινῷ ἔρχεταί τις αὔρα ἀνέμου ἕως ὡρῶν γ̄ καὶ ἡ πνοὴ αὐτοῦ δεινὴ καὶ χαλεπὴ καὶ ἀποκτείνει ἀνθρώπους καὶ κτήνη, καὶ οὐ δυνάμεθα οὐδεμιᾷ πνοῇ ζῶντες ἐπὶ τῆς γῆς ζῆσθαι ἀπὸ τὴν δύναμιν τοῦ πνεύματος ἐκείνου. δέομαί σου, ἐπειδὴ ὡς ἄνεμός ἐστιν τὸ πνεῦμα, σόφισε δὴ κατὰ τὴν δεδομένην σοφίαν ὑπὸ κυρίου τοῦ θεοῦ σου καὶ καταξίωσον ἀποστεῖλαι δύναμιν καὶ ἄνθρωπον συλλαβέσθαι αὐτό. καὶ ἰδοὺ ἐγὼ ἔσομαι, βασιλεῦ Σολομών, καὶ πᾶς ὁ λαός μου καὶ ἡ γῆ μου ἅπασα δοῦλοί σου ἕως θανάτου καὶ εἰρηνεύσει πᾶσα Ἀραβία, ἐὰν τὴν δικαιοσύνην ταύτην ποιήσεις πρὸς ἡμᾶς, δι' ὃ δεόμεθά σου, μὴ παραβλέψῃς τὴν ἱκεσίαν ἡμῶν, ὅτι σου οἰκέται ἐσμὲν ἐγὼ καὶ ὁ λαός μου καὶ πᾶσα ἡ γῆ μου. ἐρρῶσθαι τὸν ἐμὸν κύριον (13ᵛ) ἀεὶ διὰ παντός». ἐγὼ δὲ Σολομών, ἀναγνοὺς τὴν ἐπιστο-

λὴν ταύτην, ἀπέδωκα τῷ λαῷ μου εἰπόντος· «μετὰ ζ ἡμέρας ὑπομνήσατέ με περὶ τῆς ἐπιστολῆς ταύτης». καὶ ἦν Ἱερουσαλὴμ οἰκοδομουμένη καὶ ὁ ναὸς συνεπληροῦτο. καὶ ἦν λίθος ἀκρογωνιαῖος κείμενος μέγας ἐκλεκτός, ὅντινα ἐβουλόμην θῆναι εἰς τὴν κεφαλὴν τῆς γωνίας τῆς συμπληρώσεως τοῦ ναοῦ τοῦ θεοῦ. καὶ πάντες οἱ τεχνῖται καὶ πάντες οἱ δαίμονες οἱ συνυπεργοῦντες ἦλθον ἐπὶ τὸ αὐτὸ ὥστε ἀναγαγεῖν τὸν λίθον καὶ θεῖναι αὐτὸν ὑπὸ τὸ πτερύγιον τοῦ ναοῦ τοῦ ἱεροῦ καὶ οὐκ ἴσχυσαν σαλεῦσαι αὐτόν. ἦν γὰρ ὁ λίθος ἐκεῖνος πάνυ μέγας καὶ χρήσιμος εἰς τὸ τεθῆναι ἐπὶ τῆς γωνίας τοῦ ἱεροῦ. καὶ μετὰ τὰς ἑπτὰ ἡμέρας ἐμνήσθην τῆς ἐπιστολῆς Ἀδάρκου βασιλέως Ἀράβων καὶ ἐπεκαλεσάμην τὸν παιδί μου καὶ εἶπον αὐτῷ· «ἐπίσαξον τὸν κάμηλόν σου καὶ λαβὲ μετά σου ἀσκόν, λαβὲ δὲ καὶ τὴν σφραγῖδα ταύτην καὶ ἄπελθε εἰς τὴν Ἀραβίαν ἐπὶ τὸν τόπον, ἐν ᾧ τὸ πονηρὸν πνεῦμα πνέει. καὶ κρατήσας τὸν ἀσκὸν ἐπιτηδείως εἰς τὸν τόπον, ὅθεν ἐξέρχεται ἡ πνοὴ τοῦ δαίμονος, ὁμοίως δὲ τὸ δακτυλίδιον. καὶ ἐν τῷ πνευματωθῆναι τὸν ἀσκὸν τότε συνήσεις, ὅτι ὁ δαίμων ἐστίν. καὶ σπουδῇ περιδήσας τὸ στόμα τοῦ ἀσκοῦ σφράγισον αὐτὸν μὲ τὸ δακτυλίδιον καὶ ἐπίσαξον αὐτὸν ἐπὶ τὸν κάμηλον καὶ ἐλθὲ πρὸς ἡμᾶς. καὶ ἐὰν κατὰ τὴν ὁδὸν τάξηταί σοι χρυσίον ἢ ἄργυρον, ὅπως ἀπολύσῃς αὐτόν, βλέπε μὴ πεισθῇς καὶ ἀπολύσῃς αὐτόν. σύνταξον δὲ αὐτοῦ ἄνευ ὅρκου. καὶ ἐὰν ὑποδείξῃ σοι τόπον ἔχοντα χρυσίου καὶ ἀργυρίου, σημειωσάμενος τοὺς τόπους, [σ]φράγισαι τὸν τόπον τοῦ χρήματος καὶ αὐτὸν ἄγαγέ μοι ὧδε. ἤδη ἄπελθε ὑγιαίνων». τότε ὁ παῖς τὰ ἐντελόμενα ἐποίησεν καὶ ἐπέσαξεν τὸν κάμηλον καὶ ἔθηκεν τὸν ἀσκὸν ἐπὶ τὸν κάμηλον καὶ ἐπορεύθη εἰς τὴν Ἀραβίαν. καὶ οἱ ἄνθρωποι τοῦ τόπου ἐκείνου ἠπίστουν, εἰ ἄρα τὸ πνεῦμα τὸ πονηρὸν δυνήσεται συλλαβέσθαι. ὄρθρου δὲ γενομένου ἀναστὰς ὁ οἰκέτης ἔστη κατενώπιον τοῦ πνεύματος τῆς πνοῆς καὶ ἔθηκεν τὸν ἀσκὸν ἐπὶ τὸ ἔδαφος καὶ τὸ δακτυλίδιον (14) ἐπὶ τὸ στόμα τοῦ ἀσκοῦ. καὶ ἐπνευματώθη ὁ ἀσκός. ὁ δὲ παῖς συντόμως ἔδησεν τὸ στόμα τοῦ ἀσκοῦ ἐπὶ τῷ ὀνόματι κυρίου Σαβαὼθ καὶ ἔμεινε ἔσω ὁ δαίμων ἐν τῷ ἀσκῷ. καὶ μετὰ τοῦτο ἔμεινεν ὁ παῖς ἐν τῇ

χώρᾳ ἐκείνῃ ἡμέρας τρεῖς εἰς ἐπίδειξιν. καὶ οὐκέτι ἔπνευσεν τὸ πνεῦμα πλεῖον ἐν τῇ χώρᾳ ἐκείνῃ. καὶ ἔγνωσαν πάντες οἱ Ἄραβες, ὅτι ἀσφαλῶς συνέκλεισεν τὸ πνεῦμα. τότε ἐπίσαξεν τὸν ἀσκὸν ὁ παῖς ἐπὶ τὸν κάμηλον. καὶ ἐξαπέστειλαν τὸν παῖδα οἱ Ἄραβες μετὰ τιμῆς πολλῆς καὶ δῶρα πολλὰ ἐδωροφόρησαν τὸν παῖδα, ἐπαίνους καὶ δόξαν πεμψάμενοί μοι. ὁ δὲ παῖς εἰσήγαγεν τὸν ἀσκὸν καὶ ἔστηκεν αὐτὸν εἰς τὸ μέσον τοῦ ναοῦ. τῇ δὲ ἐπαύριον ἐλθὼν ἐγώ, Σολομών, εἰς τὸν ναὸν τοῦ θεοῦ, ἤμην ἐν λύπῃ πολλῇ περὶ τοῦ λίθου τοῦ ἀκρογωνιαίου. καὶ ἐν τῷ εἰσέρχεσθαί μοι εἰς τὸν ναὸν κυρίου, ἀναστὰς ὁ ἀσκὸς πεφυσημένος ἐπεριεπάτησεν ἑπτὰ βήματα καὶ ἐλθὼν ἔμπροσθέ[ν] μου ἔπεσεν ἔμπροσθέν μου κύπτον[1]) τὸ στόμα τοῦ ἀσκοῦ ἐπὶ τὴν γῆν καὶ ἐπροσκύνησέ μοι. ἐγὼ δὲ ταῦτα θεωρήσας ἐθαύμασα, ὅτι καὶ ἐν ἀσκῷ δεδεμένος ὁ δαίμων δύναμιν ἔσχεν καὶ ἐπεριεπάτει. ἐγὼ δὲ ἐκέλευσα αὐτὸν ἀναστῆναι. καὶ ἀνέστη ὁ ἀσκὸς καὶ ἔστη ἐν τοῖς ποσὶν πεφυσημένος. καὶ ἐπηρώτησα αὐτὸν λέγων· «εἰπέ μοι, τίς εἶ»; καὶ ἔφη ἔσωθεν τὸ πνεῦμα· «ἐγώ εἰμι ὁ δαίμων ὁ λεγόμενος Ἐφίππας, ὃ ἤμην ἐν τῇ Ἀραβίᾳ». ἐγὼ δὲ εἶπον αὐτῷ· «ποίῳ ἀγγέλῳ καταργεῖσαι»; ὁ δὲ εἶπεν· «ὁ μονάρχης θεὸς ὁ ἔχων ἐξουσίαν κατ᾽ ἐμοῦ ὁ καὶ μέλλων ἐκ παρθένου τίκτεσθαι καὶ ὑπὸ Ἰουδαίων μέλλει σταυρωθῆναι ἐπὶ ξύλου, ὃν προσκυνοῦσιν ἄγγελοι ἀρχάγγελοι, ἐκεῖνός με καταργεῖ καὶ ἀτονεῖ μου τὴν πολλήν μου δύναμιν τῆς δοθείσης μου ὑπὸ τοῦ πατρός μου τοῦ διαβόλου». ἐγὼ δὲ λέγω πρὸς αὐτόν· «τί δύνασαί μοι ποιῆσαι»; ὁ δὲ ἔφη· «ἐγὼ δυνατός εἰμι ὄρη σαλεῦσαι, οἰκίας βασιλείων καταλαβεῖν, δένδρα ἀπέταλλα ξηραίνω». καὶ εἶπον αὐτῷ· «δύνασαι ἐπάραι τὸν λίθον τοῦτον καὶ θέσαι αὐτὸν εἰς τὴν ἀρχὴν τῆς γωνίας ταύτης τῆς οὔσης ἐν τῇ εὐπρεπείᾳ τοῦ ναοῦ»; ὁ δὲ ἔφη· «δύνομαι καὶ τοῦτον ἐπάραι καὶ τὸν κίοναν τὸν ἐν τῷ βυθῷ τῆς θαλάσσης (14ᵛ) τῆς Ἐρυθρᾶς θαλάσσης, ὅνπερ βαστάζει ἕτερος δαίμων φυλάττων αὐτὸν ἐκεῖ ἕως τὴν σήμερον, καὶ αὐτὸν

---

[1]) Въ рук. κήπον.

θέσω ὅπου βούλῃ ἐν Ἱερουσαλήμ». ταῦτα εἰπών, ἐπέδειξα αὐτοῦ τὸν λίθον. ὁ δὲ ἀσκὸς ἐγένετο ὡσεὶ ἐκφυσηθεὶς καὶ διέζωσεν ἑαυτὸν καὶ ἐπῆρε τὸν λίθον ἐπάνω τοῦ ἀσκοῦ. καὶ ἀνῆλθεν ὁ ἀσκὸς τὰς σκάλας βαστάζων τὸν λίθον καὶ ἔθηκεν αὐτὸν εἰς τὴν ἄκραν τῆς εἰσόδου τοῦ ναοῦ. ἐγὼ δὲ Σολομών, ἰδὼν τὸν λίθον ἐπηρμένον καὶ τεθεμελιωμένον, ἐθαύμασα καὶ εἶπον· «ἀληθῶς ἡ γραφὴ εἶπεν — «λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας» — ὅτι τοῦ θεοῦ τὸ θέλημά ἐστιν τῷ δώσαντι τὴν ἰσχὺν δαίμονος [ἐ]πάραι λίθον τοσοῦτον μέγεθος καὶ ἀποτεθῆναι εἰς τὸν τόπον ὃν ἐβουλόμην». καὶ ἀπελθὼν ὁ Ἐφίππας ἀνήγαγεν τὸν δαίμοναν καὶ τὸν κίοναν ἀμφότεροι βαστάζοντες ἀπὸ τῆς Ἀραβίας. ὡς δὲ ἐθεασάμην τὸν κίοναν φέροντες εἰς ὕψος τοῦ ἀέρος βαστάζοντες πάντες οἱ θεωροῦντες τὸ θαῦμα ἐξεπλάγησαν. ἐγὼ δὲ κατασοφισάμενος, ὅτι τὰ δύο πνεύματα ταῦτα ἠδύναντο ὅλην τὴν οἰκουμένην σαλεῦσαι ἐν ῥυπῇ, περιεσφράγισα ἔνθεν καὶ ἔνθεν μετὰ τοῦ δακτυλιδίου καὶ εἶπον πρὸς τοὺς δαίμονας· «ἐπ' ὀνόματος κυρίου Ἰσραὴλ θεοῦ Σαβαὼθ στῆτε, δαίμονες, μετὰ τοῦ κιονίου εἰς τὸ ὕψος τοῦ ἀέρος ἐν τῷ τόπῳ τούτῳ, βαστάζοντες τὸν κίονα ἕως τῆς συντελείας τοῦ αἰῶνος». καὶ ἔμειναν τὰ πνεύματα εἰς τὸν τόπον βαστάζοντες τὸν κίοναν ἕως καὶ τὴν σήμερον εἰς ἀπόδειξιν τῆς δεδομένης μοι σοφίας. καὶ ἦν κρεμάμενος ὁ κίονας ἐν μεγέθει φρικτῷ εἰς τὸν ἀέρα ὑπὸ τῶν πνευμάτων βασταζόμενος, φερόμενος ὡς ὑπὸ λοξήγον οὐχὶ ὀρθῶς καὶ ἔστιν ἕως καὶ τὴν σήμερον. καὶ ἐγὼ Σολομὼν ἐπηρώτησα τὸ ἕτερον τὸ ἐν τῇ ἐν Ἀραβίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης· «σὺ τίς καλεῖσαι καὶ τί σοῦ ἡ ἐργασία, ὅτι πολλὰ ἀκούω παρά σου»; ὁ δὲ δαίμων ἔφη· «ἐγώ, βασιλεῦ, καλοῦμαι Ἀβεζεβιθοῦ καί ποτε ἐκαθεζόμην ἐν τῷ πρώτῳ οὐρανῷ, οὗ τὸ ὄνομα τοῦ ἀγγέλου τοῦ καταργοῦντός με Ἀβελούθ. ἐγώ εἰμι χαλεπὸν (15) πνεῦμα πτερωτὸν καὶ μονόπτερον, πολλὰ κακὰ ἐνεργῶν. ὅθεν ἐγώ εἰμι, ὅταν ὁ Μωϋσῆς εἰσήρχετο εἰς Φαραὼ βασιλέως Αἰγύπτου, σκληρύνων αὐτοῦ τὴν καρδίαν. ἐγώ εἰμι ὃν ἐπικαλοῦντο Ἰανῆς καὶ Ἰαμβρὶς οἱ μαχόμενοι τῷ Μωϋσῇ ἐν τοῖς τέρασι καὶ τοῖς σημείοις». εἶπον δὲ ἐγὼ αὐτῷ·

«πῶς οὖν εὑρέθης ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ»; ὁ δὲ λέγει μοι· «ἐν τῇ ἐξόδῳ τῶν υἱῶν Ἰσραὴλ ἐγὼ ἐσκλήρουν τὴν καρδίαν Φαραῶ καὶ ἀνεπτέρωσα αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ καὶ ἐποίησα αὐτούς, ὅπως καταδιώξουσιν ὀπίσω τῶν υἱῶν Ἰσραήλ, καὶ συνεκολούθησεν Φαραὼ καὶ πάντες οἱ Αἰγύπτιοι. τότε ἐγὼ παρήμην ἐκεῖ καὶ ἐσυνηκολούθησάν με. καὶ ἀνήλθομεν ἅπαντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. καὶ ἐγένετο ὅτε διεπέρασαν υἱοὶ Ἰσραήλ, ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψεν πᾶσαν τὴν παρεμβολὴν τῶν Αἰγυπτίων καὶ πᾶσαν τὴν δύναμιν αὐτῶν, εὑρέθην οὖν ἐγὼ ἐκεῖ καὶ ἐκάλυψέν με τὸ ὕδωρ καὶ ἔμεινα ἐν τῇ θαλάσσῃ τηρούμενος ὑποκάτω τοῦ κίονος τούτου ἕως τὴν σήμερον. ὡς δὲ ἦλθεν Ἐφίππας πεμφθεὶς παρά σου ἐν ἀγγείῳ ἀσκοῦ ἐγκλεισθεὶς καὶ ἀνεβίβασέν με πρός σε». κἀγὼ Σολομών, ἀκούσας ταῦτα, ἐδόξασα τὸν θεὸν καὶ ὅρκισα τοὺς δαίμονας, ὥστε μὴ παρακοῦσαί μου ἀλλὰ μεῖναι βαστάζοντες τὸν κίοναν. καὶ ὤμοσαν ἀμφότεροι λέγοντες· «ζῇ κύριος ὁ θεός, ὃς παρέδωκεν ἡμᾶς ὑποχειρίους σου, οὐ μὴ ἀποθώμεθα τὸν στῦλον τοῦτον ἐπὶ γῆς ἕως τῆς συντελείας τοῦ αἰῶνος. εἰς δ' ἂν ἡμέραν πέσῃ ὁ λίθος οὗτος, τότε ἔσται ἡ συντέλεια τοῦ αἰῶνος». ἐγὼ δὲ Σολομὼν ἐδόξασα τὸν θεὸν καὶ ἐκόσμησα τὸν ναὸν κυρίου πάσῃ εὐπρεπείᾳ. καὶ ἤμην εὐθυμῶν ἐν τῇ βασιλείᾳ μου καὶ εἰρήνη ἐν ταῖς ἡμέραις μου. ἐγὼ δὲ ἔλαβον γυναῖκας εἰς ἀνάπαυσίν μου ἀπὸ πάσας χώρας ὧν οὐκ ἦν ἀριθμός. καὶ ἐπορεύθην πρὸς τοὺς Ἰεβουσαίους καὶ εἶδον ἐκεῖ θυγατέραν ἀνθρώπου Ἰεβουσαίαν καὶ ἠγάπησα αὐτὴν σφόδρα ὡς πολλὰ ὡραίαν οὖσαν. καὶ ἐζήτησα αὐτὴν ἵνα μου γυναῖκαν μετὰ τῶν ἑτέρων γυναικῶν καὶ εἶπον πρὸς τοὺς ἱερεῖς αὐτῶν· «δότε μοι τὴν παῖδα ταύτην εἰς γυναῖκά μου». καὶ (15ᵛ) εἶπον πρός με ἱερεῖς τοῦ Μολόχ, διότι εἴδωλα ἐσεβόντισαν· «ἐὰν ἀγαπᾷς τὴν παρθένον, εἴσελθε δὲ καὶ προσκύνησον τοὺς θεοὺς ἡμῶν τῷ μεγάλῳ θεῷ ἡμῶν Ραφὰν καὶ Μολὸχ καὶ λαβὲ αὐτήν». ἐγὼ δέ, φοβηθεὶς τὴν δόξαν τοῦ θεοῦ ἡμῶν, οὐκ ἠθέλησα προσκυνῆσαι ἀλλ' εἶπον αὐτοῖς· «κἀγὼ οὐ προσκυνῶ θεῷ ἀλλοτρίῳ, καὶ τίς δὲ ὑπόθεσις, ὅτι τοῦτό με ἀναγκάζετε ποιῆσαι»; οἱ δὲ εἶπον· «ἵνα

ὁμοιωθῇς τῶν πατέρων ἡμῶν». ἐμοῦ δὲ πυθομένου ὅτι οὐδαμῇ προσθύσω θεοῖς ἀλλοτρίοις, αὐτοὶ παρήγγειλαν τὴν παρθένον τοῦ μὴ κοιμηθῆναί μοι, ἐὰν μὴ πεισθῶ θῦσαι τοῖς θεοῖς αὐτῶν. κἀγὼ οὖν ὁ δόλιος καὶ πανάθλιος κινουμένου μου πικροῦ καὶ ἀσώτου βέλους τοῦ ἔρωτος τῆς κόρης, ἔδωκα ἐπίσχυσιν. καὶ ἔφερέν μοι ε̅ ἀκρίδας λέγων μοι· «λάβε ταύτας τὰς ἀκρίδας καὶ σύντριψον αὐτὰς ἐπ' ὀνόματι τοῦ θεοῦ Μολὸχ καὶ Ραφὰ καὶ κοιμηθήσομαι μετά σου». ὅπερ καὶ ἐτέλεσα ἐγὼ τὴν ἀπώλειαν ταύτην. καὶ ταῦτα ποιήσας ὁ ἄθλιος, εὐθὺς ἀπέστη ἀπ' ἐμοῦ τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ καὶ ἅπασα ἡ δόξα καὶ ἡ σοφία καὶ ἐγενόμην ἀσθενής, καὶ τὰ ῥήματά μου ὡς ἡ λῆρος, ἐξ οὗ καὶ ἠναγκάσθην παρ' αὐτοῖς κτίσαι ναὸν τῶν εἰδώλων Τηβὰλ καὶ Ραφὰ καὶ τὸν Μολὸχ καὶ τῶν λοιπῶν εἰδώλων, ὅπερ ἐγὼ ὁ δύστηνος κατηργασάμην ἅπαντα. καὶ τελείως ἀπέστη ἀπ' ἐμοῦ ἡ δόξα τοῦ θεοῦ καὶ ἐσκοτίσθη τὸ πνεῦμά μου καὶ ἐγενόμην γέλως τοῖς εἰδώλοις καὶ παίγνιον τοῖς δαίμοσιν. διὰ γὰρ τοῦτο ἀπέγραψα ταύτην μου τὴν διαθήκην, ἵνα οἱ ἀκούοντες εὔχησθέ μοι ὅπερ ῥυσθῶ τοῦ σκότους καὶ τῆς κολάσεως τῆς πικρᾶς ὡς θεῷ παρήκωος καὶ προσέχητε ὀφεῖλην τοῖς ἀνθρώποις τοῖς ἐσχάτοις τὰ μᾶλλον ἢ τοῖς πρώτοις ἵνα εὕρητε χάριν εἰς τοὺς αἰῶνας, ἀμήν.

II.

Афонскаго монастыря Діонисіата № 132.

Περὶ τοῦ Σολομῶντος.

Ὁ Σολομὼν υἱὸς Δαβὶδ ἐγένετο ἐκ τῆς τοῦ Οὐρίου γυναικός. ἐγένετο δὲ οὕτως. ἐσκέψατο Δαβὶδ ὁ βασιλεὺς τὴν τοῦ Οὐρίου γυναῖκα ἐν τῷ βαλανίῳ γυμνὴν καὶ ἐμβατεύσας ὁ σατανᾶς εἰς τὴν καρδίαν αὐτοῦ ἔρωτα ἐπιθυμίας ἐμοίχευσεν αὐτὴν καὶ οὐ μόνον τὸ τῆς μοιχείας ἔργον εἰργάσατο, ἀλλὰ καὶ φονεῦσαι προήχθη τὸν Οὐρίαν τὸν ἄνδρα τῆς μοιχευθείσης. ὁ ἀγαπητὸς τοῦ θεοῦ ὁ μέγας προφήτης ὁ ἐκλεκτὸς τοῦ θεοῦ ὁ μέγιστος τοῖς πᾶσιν ὁ τῆς ψαλμωδίας καλλωπισμὸς ὁ μεγαλώνυμος θεοπάτωρ ὁ τῆς παλαιᾶς καὶ νέας διαθήκης σημειοφόρος ἠπατήθη γὰρ παρὰ τοῦ Βελιὰρ καὶ ἀρχεκάκου ἐχθροῦ, ἠπατήθη γὰρ ὡς ὁ πρωτοπλάστος ἐκεῖνος Ἀδάμ. ἐφονεύθη δὲ Οὐρίας ἀποστειλεὶς παρὰ τοῦ Δαβὶδ εἰς τὸν πόλεμον καὶ ταχθεὶς βουλήσει αὐτοῦ καὶ θελήσει εἰς τὸ ἔμπροσθεν τοῦ πολέμου, ὅπως καταληφθεὶς μόνος καὶ μὴ ἔχων τὸν βοηθοῦντα φονευθῇ, ὅπερ δὴ καὶ γέγονεν. πρὸ δὲ τοῦ ταῦτα γενέσθαι ἦλθεν ἄγγελος κυρίου εἰς Ναθὰν τὸν προφήτην λέγων αὐτῷ· «ἄπελθε εἰς τὸν Δαβὶδ τὸν βασιλέα τὸν προφήτην καὶ δίδαξον αὐτὸν τοῦ μὴ ποιῆσαι (367ᵛ) τὰ ἄθεσμα ἔργα τοῦ σατανᾶ». ἐξελθὼν δὲ ὁ Ναθὰν ἄπεισι πρὸς τὸν Δαβὶδ καὶ ἐνεμποδίσθη παρὰ τοῦ Βελιάρ. εὗρε γὰρ ὁ διάβολος ἄνθρωπον ἐσφαγμένον γυμνὸν καὶ ἄρας αὐτὸν ἔθηκεν τῇ ὁδῷ τοῦ Ναθάν. ἰδὼν δὲ τὸν νεκρὸν ἄνθρωπον ὁ Ναθὰν ἐβουλήθη θάψαι αὐτόν, καὶ ἐν τῷ θάπτειν ἐπλήρωσεν ὁ Δαβὶδ τὰ ἄθεσμα ἔργα τοῦ σατανᾶ· καὶ ἐπιγνοὺς τοῦτο Ναθὰν ὁ προφήτης ἐθρήνει πικρῶς καὶ ἔλε-

γεν· «δι' ἐμὲ γέγονε τοῦτο τὸ ἁμάρτημα». καὶ πάλιν ἐλθὼν ὁ ἄγγελος πρὸς αὐτὸν ἔλεγε· «διὰ σοῦ γέγονε τὸ πτῶμα, διὰ σοῦ ἔσται καὶ ἡ διόρθωσις. ἄπελθε τοίνυν καὶ ἔλεγξον αὐτῷ τὴν ἀνομίαν». καὶ λέγει Ναθὰν πρὸς τὸν ἄγγελον· «πῶς ἐγὼ πένης ὢν ἐλέγξω βασιλέα»; ὁ δὲ ἄγγελός φησι πρὸς αὐτόν· «ἐγὼ ἔσομαι μετά σου. σὺ ἀνάγγειλον, ἐγὼ δὲ τὸν φόβον φέρω εἰς αὐτόν». καὶ ἀπελθὼν Ναθὰν πρὸς τὸν Δαβὶδ προσεκύνησεν αὐτῷ καὶ εἶπε· «δέσποτα βασιλεῦ, δίκην ἔχω μετά τινος καὶ ἦλθον τοῦ εἰπεῖν πρός σε ταύτην». ὁ δὲ βασιλεὺς πρὸς αὐτὸν λέγει· «τίς ἐστὶν ἡ δίκη αὕτη»; ὁ δὲ Ναθὰν παραβολικῶς ἔλεγε· «δεσπότην ἔχω τὸν δεσπόζοντά με, καὶ κέκτηται ἀμνάδας ἑκατὸν καὶ εὐφραίνεται μετ' αὐτῶν, (368) ἐγὼ δὲ κέκτημαι ἀμνάδα μίαν, καὶ ἔλαβεν αὐτὴν ἀπ' ἐμοῦ ὁ τὰς ἑκατὸν ἔχων καὶ κατέφαγεν αὐτήν». τότε ἔγνω ὁ Δαβὶδ τὸ σκευασθὲν αὐτῷ δράμα καὶ ἀναστὰς ἐκ τῆς κλίνης αὐτοῦ στενάξας πικρῶς μετὰ δακρύων ἔλεγεν· «ἐγώ εἰμι ὁ ταῦτα διαπραξάμενος». καὶ ἤρξατο κατανυκτικῶς λέγειν τὸν πεντηκοστὸν ψαλμόν. καὶ ὁ Ναθὰν πρὸς αὐτόν· «καὶ ἀφείλετο λοιπὸν κύριος ὁ θεὸς τὸ ἁμάρτημά σου».

Ἔτεκε Δαβὶδ τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου καὶ ἔλαβε τὴν βασιλείαν τοῦ πατρὸς αὐτοῦ Δαβὶδ καὶ ἦν ἐληλακὼς εἰς ἄκρον σοφίας καὶ φρονήσεως καὶ ἡ σειρὰ τῆς γενεαλογίας αὐτοῦ κατήντησε μέχρι καὶ τῆς θείας σαρκώσεως τοῦ κυριου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπεί ἐστι καὶ αὐτὸς ἐκ φυλῆς μᾶλλον δὲ ἐξ ὀφύος τοῦ θεοπάτορος Δαβίδ, ἵνα καὶ ἡ προφητικὴ ῥῆσις πληρωθῇ ἡ λέγουσα· «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ ἕως οὗ ἔλθῃ ὃ ἀπόκειται». ἡ σοφία δὲ Σολομῶντος ὁμοία ἦν τῇ σοφίᾳ τοῦ πρώτου ἐκείνου ἀνθρώπου Ἀδάμ. ἐπαιδεύθη ταύτην τὴν σοφίαν τὴν μὲν τοῦ θαυμασίου Σιράχ, τὴν δὲ παρὰ τῆς ἄνω προνοίας. τούτου δὲ τὴν σοφίαν ἐμφαίνων ὁ κύριος ἐν τοῖς εὐαγγελίους ἔλεγε, ὅτι οὐδὲ σοφία (368ᵛ) Σολομῶντος ὑψηλοτέραν οἶμαι τῶν ἄλλων, ταύτην κρίνας ὥσπερ δῆτα καὶ ἦν. ταύτῃ τῇ σοφίᾳ θαρρήσας ὁ θαυμάσιος Σολομὼν ἐβουλήθη ἀνεγεῖραι οἶκον κυρίῳ τῷ θεῷ περικαλλῆ καὶ κρείττονα πάν-

των τῶν ἀναθημάτων τῶν ἐπὶ τῆς γῆς. ἐγένετο δὲ καὶ ἀνεγείρετο ὁ οἶκος κυρίου τοῦ θεοῦ θελήσει καὶ σοφίᾳ καὶ δημιουργίᾳ θεοῦ διὰ τοῦ σοφοῦ Σολομῶντος καὶ τῆς τούτου προθυμίας. ἀνήγειρε τοίνυν μετὰ μεγάλης εὐπρεπείας τὸν τοιοῦτον ναὸν αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ.

Ἔσχε δὲ ἕνα ἀπὸ πῶν παίδων αὐτοῦ ποθεινότατον παρὰ πάντας. τὰ γὰρ σιτία καὶ τὰς τροφὰς καὶ τὰ ἱμάτια ἐπὶ τὸ διπλοῦν παρεῖχεν αὐτῷ. ἦν δὲ ὁ τοιοῦτος παῖς ἀηδὴς τῇ ὄψει καὶ τὸ πρόσωπον ἀκαλλώπιστος. καὶ ἐλυπεῖτο βλέπων αὐτὸν οὕτως ἔχοντα ὁ Σολομών. ἐν μιᾷ δὲ τῶν ἡμερῶν φησί πρὸς αὐτόν· «πῶς οὕτως ἀηδῶς ἔχεις; τί σὲ τῶν παρόντων λυπεῖ; μὴ οὐ λαμβάνεις τὰ πάντα διπλᾶ παρ' ἐμοῦ»; καὶ ὁ παῖς φησί πρὸς τὸν βασιλέα· «τὰ μὲν σιτία, δέσποτα βασιλεῦ, ἅπερ μοι παρέχεις, πάντα καταναλίσκω, οὐκ εὐφαίνει δὲ ἀπὸ τούτων οὐδέν. καταλαμβάνει γὰρ ἐπ' ἐμὲ διὰ τῆς νυκτὸς δαιμόνιον πονηρὸν καὶ ἀκάθαρτον καὶ ὑποπιάζει καὶ ἐκθλίβει τὸ ἄκρον τοῦ δακτύλου μου καὶ ἀπεργάζεται (369) τὴν ὄψιν μου τοιαύτην οἵαν ὁρᾷς ἀηδῆ καὶ σκηπτώπην». ἀκούσας δὲ τὸ ῥῆμα τοῦτο ὁ Σολομὼν ἐποίησεν ὑπὲρ τούτου ἔντευξιν καὶ παράκλησιν πρὸς κύριον τὸν θεόν. καὶ ἀπεστάλη πρὸς αὐτὸν Μιχαὴλ ὁ ἀρχάγγελος μετὰ σφραγῖδος χαλκοῦ δακτυλίου καὶ δέδωκε τὴν τοιαύτην σφραγῖδα πρὸς τὸν Σολομῶντα καί φησι· «ἐπίδος τῷ παιδὶ τὴν τοιαύτην σφραγῖδα καὶ κατεχέτω ταύτην ἐν τῇ κλίνῃ αὐτοῦ καὶ ὁπόταν ἔλθῃ πρὸς αὐτὸν ὁ διάβολος, κρουσάτω τοῦτον μετὰ τῆς σφραγῖδος ἐπὶ τὸ στῆθος καὶ δήσας ἀγαγέτω τοῦτον πρός σε. μέλλεις γὰρ ὑποτάξαι πᾶν δαιμόνιον μετ' αὐτοῦ καὶ τῆς σφραγῖδος τοῦ θεοῦ καὶ οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ μετὰ τοῦ πλήθους πονηρῶν δαιμόνων σὺν τοῖς ἀνθρώποις». λαβὼν δὲ ὁ Σολομὼν τὴν σφραγῖδα καὶ εὐχαριστήσας τῷ ἁγίῳ θεῷ, ἀπῆλθεν ἀπ' αὐτοῦ ὁ ἄγγελος. καὶ προσκαλεσάμενος τὸν παῖδα δέδωκε τὴν σφραγῖδα ἀναγγείλας αὐτῷ τὸ προσαχθὲν παρὰ τοῦ ἀγγέλου. λαβὼν δὲ ὁ παῖς τὴν σφραγῖδα τοῦ θεοῦ ἑσπέρας γενομένης ἀνεκλίθη εἰς τὴν κοίτην αὐτοῦ. καὶ κατὰ τὸ εἰθισμένον παραγέγονε πρὸς αὐτὸν ὁ δι-

άβολος καὶ ἀθροῶν ὁ παῖς παίει τὸν ἐχθρὸν κατὰ τῆς καρδίας μετὰ τῆς τοῦ θεοῦ σφραγῖδος. (369ᵛ) ὁ δὲ σατανᾶς ἐλεεινῇ τῇ φωνῇ ἐβόησεν· «οἴμοι, οἴμοι, πῶς καταδουλοῦμαι βασιλεῖ Σολομῶντι»; καὶ δήσας τοῦτον εἰσήγαγε πρὸς τὸν βασιλέα Σολομῶντα. καὶ θεασάμενος αὐτόν, φησί· «εἰπὲ ἡμῖν, πονηρὸν πνεῦμα καὶ ἀκάθαρτον, τίς ἐστιν ἡ κλῆσίς σου καὶ τίς σου ἡ ἐργασία»; καὶ ὁ διάβολος ἔφη τῷ βασιλεῖ· «Ὀρνίας καλοῦμαι. ἡ δὲ ἐργασία μου εἰς πάντα ἐπιτηδεία». καὶ λέγει ὁ βασιλεύς· «τίς ὁ καταργῶν τὴν δύναμίν σου ἄγγελος»; καὶ ὁ διάβολος· «ὑπὸ τοῦ μεγάλου ἀρχαγγέλου Μιχαὴλ καταργοῦμαι, αὐτός τε καὶ ἐμὴ δύναμις». καὶ ὁ βασιλεύς φησι· «δύνασαι ποιῆσαί τι εἰς τὸν ναὸν κυρίου καὶ εἰς τὴν οἰκοδομὴν αὐτοῦ χρήσιμον»; καὶ ὁ διάβολος· «δύναμαι μετὰ τῆς σφραγῖδος ταύτης ἐπισυνάξαι πᾶν δαιμόνιον ἔμπροσθέν σου καὶ ὑποτάξαι τῷ σῷ θελήματι καὶ οἰκοδομῆσαι, καὶ ἀνεγερεῖς μετὰ τῆς δουλείας καὶ ὑποταγῆς ἐκείνων τὸν ναὸν κυρίου παντοκράτορος». ταῦτα ἀκούσας ὁ Σολομὼν εὐχαρίστησε κυρίῳ τῷ θεῷ καὶ προέτρεψε τὸν Ὀρνίαν δαίμονα μετὰ τῆς σφραγῖδος καὶ τοῦ παιδαρίου ἀπελθεῖν καὶ ἐπισυνάξαι τὸν δαιμόνιον. καὶ ἀπῆλθον καὶ ἐπισυνήγαγον πάντα, καὶ εἰσῆγον ταῦτα εἰς (370) τὸν βασιλέα Σολομῶντα. ἅμα δὲ τὸ πλησιάσαι ταῦτα εἰς τὸν βασιλέα προσεκύνουν αὐτῷ. καὶ ἠρώτα ἓν ἕκαστον ὁ βασιλεὺς τῶν δαιμόνων τό τε ὄνομα καὶ τὴν ἐργασίαν καὶ ὑπὸ ποίου τῶν ἁγίων ἀγγέλων καταργεῖται. καὶ ὡμολόγουν τήν τε ἐργασίαν αὐτοῦ καὶ τὴν κλῆσιν καὶ τὸν καταργοῦντα ἄγγελον. ἐπέτρεπε δὲ αὐτὰ ἐργάζεσθαι εἰς τὴν τοῦ ναοῦ οἰκοδομήν. καὶ ἐνήργει ἓν ἕκαστον τὴν δουλείαν εἰς ἣν δὴ καὶ ἐτάχθη παρὰ τοῦ σοφοῦ Σολομῶντος. καὶ οὕτως ἦν ἰδεῖν θαῦμα ἐξαίσιον, ἄνδρας μετὰ πλήθους δαιμόνων θελήσει κυρίου ἀνοικοδομοῦντας καὶ ἐκπληροῦντας τὸν ναὸν κυρίου εἰρηνικῶς μετὰ πάσης ἐπιμελείας τε καὶ σπουδῆς, μὴ τολμώντων τῶν δαιμόνων μηδὲ τὸ τυχὸν σκανδαλίσαι ἢ ἀδικῆσαι τοὺς ἀνθρώπους. ἀπὸ δὲ τῶν ἀνδρῶν τῶν ἐχόντων ἀκριβῆ εἴδησιν εἰς τὴν τοῦ ναοῦ οἰκοδομὴν ἦλθέν [τις] εἰς φιλονεικίαν καὶ ἔριν μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ ἐμάχοντο ἀλλήλοις θυμοῦ πνέοντες

ἀλλήλους διασπαράξαι βουλόμενοι. ὅλος δὲ τοῦ θυμοῦ ὁ πατὴρ γεγονὼς ἀπῆλθε πρὸς τὸν βασιλέα Σολομῶντα μετὰ δακρύων καὶ ὀδυρμῶν λέγων αὐτῷ· «δέσποτα βασιλεῦ, ἢ θανάτῳ τὸν ἐμὸν καταδίκασον (370v) παῖδα ὡς ἐνυβρίσαντα παρανόμως εἰς ἐμὲ τὸν πατέρα, ἢ σαφῶς ἴσθι, ὡς οὐδέποτε κινήσω τὴν χεῖρά μου εἰς τὴν τοῦ ναοῦ οἰκοδομήν». ἀκούων δὲ ταῦτα ὁ βασιλεὺς καὶ βουλευόμενος, ἦλθε καὶ ὁ υἱὸς ἐκείνου πρὸς τὸν βασιλέα ταὐτὰ ἐγκαλῶν καὶ λέγων τῷ πατρί. διαλογιζόμενος δὲ περὶ τούτου ὁ βασιλεὺς καὶ διαπορῶν, τί ἄρα καὶ ἀποκρίνοιτο, στραφεὶς βλέπει τὸν Ὀρνίαν δαίμονα ἐργαζόμενον καὶ μειδιῶντα καὶ λέγει πρὸς τοὺς κρινομένους· «ἀπόστητε μικρὸν ἀπ' ἐμοῦ». καὶ ἀποστάντων τὸν Ὀρνίαν μετακαλεῖται καί φησι πρὸς αὐτόν· «τί γελᾷς, ὦ Ὀρνία; τὴν βασιλείαν μου καταγελᾷς ἢ τὴν κρίσιν μου, ἢ τὸν ναὸν κυρίου»; καὶ ὁ Ὀρνίας πρὸς τὸν βασιλέα λέγει· «δέσποτα βασιλεῦ, σοφώτατε καὶ δικαιότατε Σολομών. οὔτε τὴν βασιλείαν σου κατεγέλασα οὔτε τὴν κρίσιν σου οὔτε τὸν ναὸν κυρίου, ἀλλὰ τούτους τοὺς ἀθλίους τοὺς κρινομένους, τὸν δύστυχον λέγω γέροντα καὶ τὸν τούτου υἱόν. οὐ μὴ γὰρ παρέλθωσι τρεῖς ἡμέραι καὶ τὸ τέλος διαδέξεται τὸν νέον». καὶ ὁ βασιλεὺς τὸν Ὀρνίαν λέγει· «ἄπελθε καὶ ἐργάζου μετὰ σπουδῆς καὶ εἰρήνης καὶ ὑποταγῆς εἰς τὸν ναὸν κυρίου θεοῦ παντοκράτορος». καὶ ἀπῆλθεν ἀπὸ τοῦ τόπου ἐκείνου ὁ Ὀρνίας καὶ (371) ἐργάζετο. μετεκαλέσατο δὲ ὁ βασιλεὺς τοὺς δύο κρινομένους καί φησι πρὸς αὐτούς· «ἀπέλθατε καὶ ἐργάζεσθε τὸ ἔργον ὑμῶν ἄχρι πέντε ἡμέρας καὶ μετὰ ταῦτα ποιήσομαι ἀπόφασιν καὶ τέλος τῆς κρίσεως ὑμῶν». προσέταξε δὲ ὁ βασιλεὺς διορίσασθαι τὴν ἡμέραν καθ' ἣν ἔλεγον ταῦτα. παρελθουσῶν οὖν τῶν πέντε ἡμερῶν ἦλθεν ὁ γέρων πρὸς τὸν βασιλέα κατηφὴς καὶ σκυθρωπὸς καὶ δάκρυα πρὸ τῶν ὀμμάτων ἀφείς, φησί· «βασιλεῦ, τέθνηκεν ὁ ἐμὸς υἱός, τέθνηκεν καὶ οὐκ ἔστι ἴδῃς αὐτόν, ἐμὲ δὲ ἀπέλιπεν ἐν πένθει βαρυτάτῳ καὶ ὀδύνῃ καρδίας καὶ ἀφορήτῳ στεναγμῷ. οὐκέτι γὰρ βλέψω αὐτόν, οὐκέτι τὸ πρόσωπον ἐκείνου θεάσομαι. κατεκρύβη γὰρ ἐν τόπῳ ἀφεγγεῖ ἐν γῇ σκοτεινῇ ἐν γῇ ζοφερᾷ». ἐκπλαγεὶς οὖν ταῦτα ὁ βασιλεύς

φησι· «ποίαν ἡμέραν τέθνηκεν»; καί φησι ὁ γέρων· «μετὰ τρίτην ἡμέραν ἀπέθανεν ἀφότου πρὸς τὸ σὸν κράτος ἤλθαμεν». καὶ λέγει ὁ βασιλεύς· «ἄπελθε ἐν εἰρήνῃ, ὦ γέρον. κύριος δὲ ὁ θεὸς ὁ πατὴρ τῆς παρακλήσεως καὶ παραθυμία τῶν θλιβομένων παρακαλέσει σου τὴν καρδίαν εἰς τὸ μηκέτι λυπεῖσθαι. μνήσθητι γάρ, ὅτι ὁ σὸς υἱὸς ἄνθρωπος ἦν. πᾶς δὲ ἄνθρωπος θνητὸς ἦν. (371ᵛ) μὴ τοίνυν λυποῦ. οὐ γὰρ ἀνύσεις οὐδὲν ὧν βούλεσαι». ταῦτα ἀκούσας ὁ γέρων ἀπῆλθεν ἀναψυχθεὶς τὴν καρδίαν. καὶ μετακαλεσάμενος τὸν Ὀρνίαν φησί· «εἰπὲ ἡμῖν, πῶς ἐπιγινώσκεις τὸν θάνατον τοῦ ἀνθρώπου, πνεῦμα ἀκάθαρτον ὄν»; ὁ δὲ Ὀρνίας λέγει· «ἡμεῖς, δέσποτα, ἐκ τοῦ οὐρανοῦ ἐρρίφημεν κάτω καὶ ἄγγελοι θεοῦ ὄντες καὶ φῶς περικείμενοι νῦν δαίμονες καὶ ἀκάθαρτα πνεύματα καὶ σκότος, ὡς ὁρᾷς, ἐγενόμεθα. καὶ λειτουργοὶ θεοῦ τυγχάνοντες νῦν σοῦ θεράποντες καὶ ὑπουργοὶ θεοῦ κελεύοντος ριγεγενήμεθα. κάτω τοίνυν ἐξ οὐρανοῦ πεσόντες καὶ εἰς ᾅδην ριφέντες δεινῶς, πάλιν ἀνερχόμεθα εἰς τὸ κάτω τοῦ οὐρανοῦ πέταλον, καὶ τὰς τῶν ἀγγέλων ὁμιλίας ἀκούομεν καὶ ἐξ αὐτῶν μανθάνομεν τὸν τοῦ ἀνθρώπου θάνατον πρὸ τεσσαράκοντα ἡμερῶν. καὶ ἀκούσαντες τούτων ἐπιμελούμεθα καὶ ἀγωνιζόμεθα, ἵνα τούτου ἀνθρώπου θάνατον ἢ διὰ πυρὸς ἢ δι' ὕδατος ἢ διὰ κρημνοῦ οἰκονομήσωμεν, ὅπως λάβωμέν τινα ἐξ αὐτοῦ μερίδα. καὶ ἐν τῷ μὴ ἔχειν ἡμᾶς βάσιν ἀναπαύσεως ἐν τῷ πετάλῳ τοῦ οὐρανοῦ ἀνπίπτομεν ὥσπερ φύλλα ἀπὸ τῶν δένδρων, καὶ δοκοῦμεν τοῖς ἀνθρώποις ὡς ἀστέρες χυνόμενοι (374), ἵνα δοξαζώμεθα παρὰ τῶν ἀνθρώπων». καὶ ὁ βασιλεύς· «καὶ οἱ χυνόμενοι ἀστέρες καὶ δοκοῦντες ἀστέρες οὐκ εἰσι ὄντες ἀστέρες»; καὶ ὁ Ὀρνίας· «οὐχί, βασιλεῦ. οἱ γὰρ τοῦ οὐρανοῦ ἀστέρες ἀθάνατοί εἰσι καὶ ἐστηριγμένοι καὶ οὐ κινοῦνται». καὶ ἀκούσας ταῦτα ὁ βασιλεὺς ἀπέλυσε τὸν Ὀρνίαν εἰς τὸ ἔργον αὐτοῦ ἐργάζεσθαι.

Οἰκοδομεῖτο δὲ ὁ ναὸς καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες τῶν τιμίων καὶ βασίλισσα Νότου ἡ σοφὴ Σιβύλλα καὶ αὐτὴ ἦλθε θεάσασθαι τὸν ναὸν κυρίου καὶ εὐσέφερε καὶ αὐτὴ εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ ξύλα πολυτελῆ καὶ ἀξιόλογα. ἀπέ-

στειλε δὲ ὁ βασιλεὺς Ἀράβων ἐπιστολὴν πρὸς τὸν βασιλέα Σολομῶντα καὶ διελάμβανεν οὕτως· «βασιλεῦ Σολομών, χαίροις. γινωσκέτω ἡ βασιλεία σου, ὅτι εἰς τὴν ἡμῶν χώραν οἰκεῖ χαλεπὸν δαιμόνιον δυνατὸν καὶ κατὰ τρεῖς ἡμέρας ἀναγείρει ἄνεμον ἰσχυρὸν καὶ ἐκριζοῖ οἰκίας καὶ δένδρα καὶ βουνοὺς καὶ ἀνθρώπους ἀπόλλυσι ρίπτων τούτους εἰς κρημνοὺς καὶ εἰς ὕδωρ καὶ εἰς πῦρ. εἰ οὖν βούλει τὸ σὸν κράτος, ἀπόστειλον καὶ ἐξάλειψον καὶ ἐξολόθρευσον τοῦτον (374ᵛ) ἀπὸ τῆς τοιαύτης χώρας. εἰ οὖν τοῦτο ποιήσει ἡ βασιλεία σου, εἰσενέγκομεν εἰς τὴν τοῦ ναοῦ οἰκοδομὴν τάλαντα χρυσίου καὶ ἀργυρίου καὶ χαλκοῦ ἑκατὸν εἴκοσι πέντε. ἀναγνοὺς οὖν τὴν ἐπιστολὴν ὁ βασιλεὺς ἐνετείλατο τῷ παιδαρίῳ τῷ ἔχοντι τὴν σφραγῖδα τάχιστα καταλαβεῖν πρὸς αὐτόν. καὶ ἐλθόντος φησί, ὅτι «τάχιστα ἄπελθε εἰς τὸν τῶν Ἀράβων βασιλέα καὶ λαβὲ μετά σου τὴν σφραγῖδα καὶ κάμηλον μίαν τὴν ταχίστην καὶ ἀσκὸν καινὸν καὶ δειξάτω σε τὸν τόπον ἔνθα πνεῖ τὸ πονηρὸν πνεῦμα. καὶ καταλαβὼν τὸν τόπον ἐκεῖνον, ἐπίθες τὸν ἀσκὸν ἀνεῳγμένον ἔχον τὸ στόμα αὐτοῦ πρὸς τῇ ὀπῇ τοῦ φωλεοῦ καὶ παρατήρει τὴν ἡμέραν ἐν ᾗ ἐξέρχεται τὸ πονηρὸν πνεῦμα. καὶ ὅταν ἴδῃς τὸν ἀσκὸν πλησθέντα δίκην ἀνέμου, ἀσφάλισαι μετὰ τοῦ δακτυλίου τὸ στόμα αὐτοῦ τοῦ ἀσκοῦ καὶ ἐπίθες αὐτὸν εἰς τὴν κάμηλον καὶ κατάλαβε ταχέως πρὸς ἡμᾶς». καὶ ἀπῆλθε τὸ παιδάριον καὶ ἐποίησε πάντα κατὰ τὴν θέλησιν τοῦ βασιλέως Σολομῶντος. (373) ἐπαναστρέφοντος δὲ αὐτοῦ λέγει τὸ δαιμόνιον· «ἄνοιξόν μοι, ὦ παιδίον, καὶ ἐπιδείξω σοι τόπον, ἐν ᾧ κέκρυπται ὁ πράσινος λίθος καὶ τὸ χρυσίον τὸ τίμιον». τὸ δὲ παιδίον λέγει· «ἀπέλθωμεν πρῶτον πρὸς τὸν βασιλέα καὶ μετὰ ταῦτα αὐτοῦ κελεύοντος ποιήσομεν». ὡς δὲ τὴν ὁδὸν ἤνυσαν καὶ τὸν τόπον κατέλαβον ἐν ᾧ ἦν πεσὼν ἐκ τῆς καμήλου ὁ ἀσκὸς προσεκύνη(σε) ἄνω καὶ κάτω φερόμενος τὸν Σολομῶντα. ὁ δὲ βασιλεύς φησι· «τίς εἶ καὶ τί σοῦ τὸ ὄνομα»; ὁ δέ φησι· «δαιμόνιόν εἰμι Ἐφίππας καλούμενος». καὶ λέγει αὐτῷ· «δύνασαι ποιῆσαί μοί τι χρήσιμον»; καὶ ὁ Ἐφίππας· «δύναμαι ἆραι τὸν λίθον τὸν ἀκρογωνιαῖον, ὃν ἀπεδοκίμασαν ἄνθρωποί τε καὶ δαίμονες, καὶ θεῖναι τοῦ-

τον εἰς κεφαλὴν γωνίας». καὶ ὁ βασιλεὺς προέτρεψε τὸν Ἐφίππαν ποιῆσαι ταῦτα. καὶ ἐποίησε τοῦτο ὁρώντων πάντων τοῦ τε βασιλέως καὶ τῶν περιεστηκότων ἀνδρῶν. ἔκθαμβος δὲ γενόμενος ὁ βασιλεὺς ἤρετο τὸν Ἐφίππαν· «εἰ γινώσκεις καὶ ἕτερον πνεῦμα ὅμοιον αὐτῷ»; καὶ λέγει ὁ Ἐφίππας· «ἔστι, βασιλεῦ, καὶ ἕτερον πνεῦμα (373ᵛ) ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ καθήμενον καὶ ἔχον ἐν ἑαυτῷ τὸν πορφυροῦν κίονα». καὶ λέγει ὁ βασιλεύς· «ἄπελθε μετὰ τῆς σφραγῖδος καὶ ἄγαγέ μοι αὐτὸν ὧδε». ἀπελθὼν δὲ ὁ Ἐφίππας μετὰ τῆς σφραγῖδος καὶ ἀνασπάσας αὐτὸν ἤγαγεν αὐτόν τε καὶ δαίμονας δύο βαστάζοντας τὸν κίονα καὶ φέροντας τοῦτον εἰς τὸν ἀέρα. ἰδὼν δὲ ταῦτα ὁ βασιλεὺς καὶ ἔκθαμβος γενόμενος ἐκέλευσεν αὐτοῖς βαστάζειν τὸν κίονα καὶ κρεμάσθαι εἰς τὸν ἀέρα μέχρι τῆς συντελείας τοῦ αἰῶνος καὶ μὴ ῥῖψαι τοῦτον ἐπὶ τῆς γῆς ποτέ, μήπως λύμην τῷ τῶν ἀνθρώπων προξενήσωσι γένει. πάλιν οὖν ὁ βασιλεὺς πρὸς τὸν Ὀρνίαν λέγει· «ἔστι καὶ ἕτερον δαιμόνιον»; καὶ ὁ Ὀρνίας λέγει· «εἰσὶ μὲν πολλά, ὦ βασιλεῦ. ὑπάρχει δὲ ἀπὸ τούτων ἕν, μεγίστην κεκτημένον τὴν δύναμιν». «ποῖον δὲ τοῦτο» — φησὶ ὁ βασιλεύς — «καὶ τίνα μεγίστην ἔχει τὴν δύναμιν καὶ τί τούτῳ τὸ ὄνομα»; ὁ Ὀρνίας λέγει· «Σαμαὴλ τὸ ὄνομα, ὦ βασιλεῦ, ἄρχων δὲ τοῦ τῶν δαιμόνων ὑπάρχει συστήματος καὶ συμφέρον σοι ὑπάρχει, ὦ βασιλεῦ, τοῦ μὴ ἰδεῖν αὐτόν». καὶ ὁ βασιλεύς· «μηδέν σοι (372) περὶ τοῦτο μελέτω, πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, ἀλλὰ λαβὼν τὴν σφραγῖδα ἄγαγέ μοι αὐτὸν ὧδε κατὰ τάχος». λαβὼν δὲ ὁ Ὀρνίας τὴν σφραγῖδα τοῦ θεοῦ ἀπῆλθε τὸ τοῦ βασιλέως πληρώσων θέλημα. ὁ δὲ Σολομὼν ἐπὶ θρόνον καθήμενος ἦν τῷ τῆς βασιλείας κεκοσμημένος στέμματί τε καὶ διαδήματι καὶ τὸν Ὀρνίαν μετὰ τοῦ Σαμαὴλ ἐκδεχόμενος σκῆπτρόν τε τὸ βασιλικὸν ἀνὰ χεῖρας εἶχεν. ἐλθόντων δὲ τοῦ τε Σαμαὴλ καὶ τοῦ Ὀρνία πρὸς τὸν βασιλέα, φησὶν ὁ βασιλεὺς πρὸς τὸν Σαμαήλ· «τίς εἶ καὶ τί σου τὸ ὄνομα»; ὁ δέ φησι· «Σαμαὴλ κέκλημαι, ἄρχων δὲ τοῦ τῶν δαιμόνων ὑπάρχω συστήματος». καὶ ὁ βασιλεύς· «δύνασαι ποιῆσαί μέ τι»; ὁ δέ φησιν· «δύναμαι ἐμφυσῆσαί σοι καὶ ἀπαγαγεῖν σε εἰς τὸ ἔσχατον

τῆς γῆς». καὶ ἅμα τῷ λόγῳ ἐνεφύσησεν αὐτὸν καὶ ἀπήγαγεν εἰς τὰ ἔσχατα τῆς γῆς. διεφημίζετο δὲ ἡ φήμη τοῦ βασιλέως εἰς πάντα τὰ πέρατα τῆς γῆς. καὶ προσκυνοῦντες ἦσαν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες καὶ χορηγοῦντες εἰς τὴν τοῦ ναοῦ οἰκοδομήν. τῷ δὲ καιρῷ ἐκείνῳ ἐρρητόρευσε τὸ ᾆσμα τῶν ᾀσμάτων καὶ ἔλεγεν οὕτως· «ἐκτησάμην βασιλείαν, ἐκτησάμην ᾄδοντας καὶ ᾀδούσας». καὶ καταλέξας τὰ πάντα τέλος ἐπάγει· «τὰ πάντα δὲ ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης». ἔλεγε δὲ καὶ τοῦτο· «πάντων τῶν γραμμάτων ἄρχει τὸ χ̅». εὐδοκίᾳ δὲ θεοῦ διεσώθη Σολομὼν εἰς τὰ αὐτοῦ βασίλεια. καὶ οἰκοδομεῖτο ὁ πάνσεπτος ναὸς τοῦ θεοῦ. οἰκοδομεῖτο δὲ πάντα κατὰ μίμησιν τῆς ἄνω τάξεως. ὑπῆρχον τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ καὶ τὰ ἑξαπτέρυγα, ὄπισθεν δὲ θυσιαστηρίου τὰ πολυόμματα καὶ οἱ θρόνοι καὶ αἱ κυριότητες. ἄρρητον δὲ τὸ κάλλος τοῦ τοιούτου ναοῦ καὶ ἀνερμήνευτον καὶ τοιοῦτον οἷον οὔτε ἐγένετο οὔτε γενήσεται.

50к.